ἀπομνημονευμένον αὐτῷ ἐπιστολικοῦ· καὶ τὶ ἀπὸ δεξιῶν.
ἐπεὶ δὲ καὶ πόλεσί ποτε καὶ βασιλεῦσι γράφομεν, ἔστωσαν
τοιαῦται αἱ ἐπιστολαὶ· μικρὸν ἐξηρμέναι πως. στοχαστέον γὰρ καὶ
τοῦ προσώπου ᾧ γράφεται· ἐξηρμένη μὴν δὲ καὶ οὐχ ὥστε
σύγγραμμα εἶναι ἀντ' ἐπιστολῆς· ὥσπερ αἱ Ἀριστοτέλους
πρὸς Ἀλέξανδρον· καὶ πρὸς τοὺς Δίωνος οἰκείους ἡ Πλάτωνος.
καθόλου δὲ μεμίχθω ἡ ἐπιστολὴ κατὰ τὴν λέξιν ἐκ
δυοῖν χαρακτήροιν τούτοιν· τοῦ τε χαρίεντος καὶ τοῦ ἰσχνοῦ.
καὶ περὶ ἐπιστολῆς μὲν τοσαῦτα· καὶ ἅμα περὶ τοῦ χαρακτῆρος
τοῦ ἰσχνοῦ. παράκειται δὲ καὶ τῷ ἰσχνῷ διημαρτημένος
χαρακτὴρ ὁ ξηρὸς καλούμενος· γίνεται δὲ καὶ οὗτος ἐν
διανοίᾳ μὲν ὥσπερ τις ἐπὶ τοῦ Ξέρξου ἔφη· ὅτι κατέβαινεν
ὁ Ξέρξης μετὰ πάντων τῶν ἑαυτοῦ. μάλα γὰρ ἐμίκρυνε
τὸ πρᾶγμα· ἀντὶ τοῦ μετὰ τῆς Ἀσίας ἁπάσης εἰπεῖν
μετὰ πάντων τῶν ἑαυτοῦ φήσας. περὶ δὲ τὴν λέξιν γίνεται
τὸ ξηρὸν ὅταν πρᾶγμα μέγα σμικροῖς ὀνόμασιν ἀπαγγέλλῃ.
οἷον ὡς ὁ Γαδαρεὺς ἐπὶ τῆς ἐν Σαλαμῖνι ναυμαχίας φησί·
καὶ τοὺς φράζει ὅσος τοῦ τυράννου ἔφη τις Φάλαρις
ἠνώχλει τοῖς Ἀκραγαντίνοις. ναυμαχίαν τε τοσαύτην καὶ
τυράννου ὠμότητα οὐχ ὑπὸ τοιούτοις ὀνόμασιν οὐδὲ τῷ ἠμελ-
λημένῳ λέγειν· ἀλλ' ἐν μεγάλοις καὶ πρέπουσι τῷ ὑπο-
κειμένῳ πράγματι. ἐνδέχεται δὲ γίνεσθαι τὸ ξηρὸν
ἐν τοιαύτῃ συνθέσει κόμματα· ὥσπερ ἐν τοῖς ἀφορι-
σμοῖς ἔχει· ὁ βίος βραχὺς ἡ δὲ τέχνη μακρά· ὁ δὲ καιρὸς
ὀξύς· ἢ δὲ παρὰ συγγραφεῖ· ἢ ὅταν ἐν μεγάλῳ πράγματι
ἀποκεκομμένον ᾖ τὸ κῶλον· καὶ μὴ ἐκπλέον. ὥσπερ
τις Ἀριστείδου κατηγορῶν ὅτι οὐκ ἀφίκετο εἰς τὴν ἐν Σαλαμῖνι
ναυμαχίαν. ἀλλὰ αὐτόκλητος ἔφη· ἡ μὲν Δημήτηρ
ἦλθε καὶ συνεναυμάχει. Ἀριστείδης δὲ οὔ. ἡ γὰρ ἀπο-

περὶ ξηροῦ

http://digital.slub-dresden.de/ppn346251060/251